## XXV (56)

φησὶν ὅ με στήσας Εὐαίνετος — οὐ γὰρ ἔγωγε
γιγνώσκω — νίκης ἀντί με τῆς ἰδίης
ἀγκεῖσθαι χάλκειον ἀλέκτορα Τυνδαρίδῃσι.
πιστεύω Φαίδρου παιδὶ Φιλοξενίδεω.

## XXVI (48)

εὐμαθίην ᾐτεῖτο διδοὺς ἐμὲ Σῖμος ὁ Μίκκου
ταῖς Μούσαις, αἱ δὲ Γλαῦκος ὅκως ἔδοσαν
ἀντ' ὀλίγου μέγα δῶρον. ἐγὼ δ' ἀνὰ τῇδε κεχηνώς
κεῖμαι τοῦ Σαμίου διπλόον, ὁ τραγικός
παιδαρίων Διόνυσος ἐπήκοος· οἱ δὲ λέγουσιν
"ἱερὸς ὁ πλόκαμος", τοὐμὸν ὄνειαρ ἐμοί.

## XXVII (49)

τῆς Ἀγοράνακτός με λέγε, ξένε, κωμικὸν ὄντως
ἀγκεῖσθαι νίκης μάρτυρα τοῦ Ῥοδίου,
Πάμφιλον οὐκ ἐν ἔρωτι δεδαγμένον ἥμισυ δ' ὀπτῇ
ἰσχάδι καὶ λύχνοις Ἴσιδος εἰδόμενον.

## XXVIII (47)

τὴν ἁλίην Εὔδημος, ἐφ' ἧς ἅλα λιτὸν ἐπέσθων
χειμῶνας μεγάλους ἐξέφυγεν δανέων,